ἀπὸ τῶν πονηρῶν ἀνθρώπων εἴργουσιν, ὡς τὴν μὲν
τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν τῆς ἀρετῆς, τὴν
δὲ τῶν πονηρῶν κατάλυσιν. μαρτυρεῖ δὲ καὶ τῶν
ποιητῶν ὅ τε λέγων·

Ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ διδάξεαι· ἢν δὲ κακοῖσι
 συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐνόντα νόον,

καὶ ὁ λέγων·

Αὐτὰρ ἀνὴρ ἀγαθὸς ὁτὲ μὲν κακός, ἄλλοτε δ' ἐσθλός.

21 κἀγὼ δὲ μαρτυρῶ τούτοις· ὁρῶ γὰρ ὥσπερ τῶν ἐν μέ-
τρῳ πεποιημένων ἐπῶν τοὺς μὴ μελετῶντας ἐπιλαν-
θανομένους, οὕτω καὶ τῶν διδασκαλικῶν λόγων τοῖς
ἀμελοῦσι λήθην ἐγγιγνομένην. ὅταν δὲ τῶν νουθετη-
τικῶν λόγων ἐπιλάθηταί τις, ἐπιλέλησται καὶ ὧν ἡ
ψυχὴ πάσχουσα τῆς σωφροσύνης ἐπεθύμει· τούτων δ'
ἐπιλαθόμενον οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης
22 ἐπιλαθέσθαι. ὁρῶ δὲ καὶ τοὺς εἰς φιλοποσίαν προαχ-
θέντας καὶ τοὺς εἰς ἔρωτας ἐκκυλισθέντας ἧττον δυ-
ναμένους τῶν τε δεόντων ἐπιμελεῖσθαι καὶ τῶν μὴ
δεόντων ἀπέχεσθαι. πολλοὶ γὰρ καὶ χρημάτων δυνά-
μενοι φείδεσθαι, πρὶν ἐρᾶν, ἐρασθέντες οὐκέτι δύναν-
ται· καὶ τὰ χρήματα καταναλώσαντες, ὧν πρόσθεν
ἀπείχοντο κερδῶν, αἰσχρὰ νομίζοντες εἶναι, τούτων
23 οὐκ ἀπέχονται. πῶς οὖν οὐκ ἐνδέχεται σωφρονήσαντα

---

5 ἄπ' **AM** ἀπ' rell. διδάξαι **OR** μαθήσεαι Stob. **S**
6 συμμίσγης **A** συμμιγῇς rell. (-χθῇς **Y**$^1$) Stob. ἐνόντα **A** ἐόντα rell. 8 αὐτὰς **M**$^1$ ἀτὰρ Stob. **S** ὁτὲ **A** τοτὲ rell. (τ. μὲν κακός om. **B**) πο$^{\tau}$ Stob. **A** 9 τούτοις] τοῦτό γε Stob.
12 νουθετητικῶν **B** νουθετικῶν rell. 13 ἐπιλέλησται] ἐπιλέληθε Stob. **A**$^1$ 14 ἐπιθυμεῖ **Φ** (-μεῖν **X**) Stob. **A**$^1$ 16 φιλοπονίαν Stob. **M** 17 ἐκκυλισθέντας **MOY** ἐγκυλ. rell. Stob.
18 τε om. **Y** 22 κερδέων Ddf. αἰσχρὸν Stob. **A** 23 σωφρονήσαντας **AO**